3 αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ,
ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ,
4 ὅτι εὐδοκεῖ κύριος ἐν λαῷ αὐτοῦ
καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.
5 καυχήσονται ὅσιοι ἐν δόξῃ
καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν·
6 αἱ ὑψώσεις τοῦ θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν,
καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν
7 τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν,
ἐλεγμοὺς ἐν τοῖς λαοῖς,
8 τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις
καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς,
9 τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον·
δόξα αὕτη ἐστὶν πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

150 ΡΝʹ

1 Αλληλουια.
Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ,
αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ·
2 αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ,
αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.
3 αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος,
αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ·
4 αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ,
αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ·
5 αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις,
αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.
6 πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον.
αλληλουια.

151

1 Οὗτος ὁ ψαλμὸς ἰδιόγραφος εἰς Δαυιδ
καὶ ἔξωθεν τοῦ ἀριθμοῦ· ὅτε ἐμονομάχησεν
τῷ Γολιαδ.
Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου
καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου·
ἐποίμαινον τὰ πρόβατα τοῦ πατρός μου.
2 αἱ χεῖρές μου ἐποίησαν ὄργανον,

$6^1$ αι et του > S† | τω > B† || $9^1$ εν > S† | $9^2$ αυτη εστιν] tr. S† | αυτου] -των S†

150 $4^2$ οργανοις A || 6 αλληλουια > A | fin.] + subscr. βιβλος ψαλμων ρνʹ B (non SA)

151 1 tit. εις] του A | τω BS†] προς τον rel. | γολιαθ A: cf. Regn. I 17 42

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/167 UNIVERSITÄT LEIPZIG